ἀκταῖσιν ὁρμεῖ, δαρὸν ἐκ Τροίας χρόνον
ἄλαισι πλαγχθείς· τὴν δὲ δὴ πολύστονον
Ἑλένην, φυλάξας νύκτα, μή τις εἰσιδὼν
μεθ᾿ ἡμέραν στείχουσαν, ὧν ὑπ᾿ Ἰλίῳ
παῖδες τεθνᾶσιν, εἰς πέτρων ἔλθῃ βολάς,
προύπεμψεν εἰς δῶμ᾿ ἡμέτερον· ἔστιν δ᾿ ἔσω
κλαίουσ᾿ ἀδελφὴν συμφοράν τε δωμάτων.
ἔχει δὲ δή τιν᾿ ἀλγέων παραψυχήν·
ἣν γὰρ κατ᾿ οἴκους ἔλιφ᾿, ὅτ᾿ ἐς Τροίαν ἔπλει,
παρθένον ἐμῇ τε μητρὶ παρέδωκεν τρέφειν
Μενέλαος ἀγαγὼν Ἑρμιόνην Σπάρτης ἄπο,
ταύτῃ γέγηθε κἀπιλήθεται κακῶν.
βλέπω δὲ πᾶσαν εἰς ὁδόν, πότ᾿ ὄψομαι
Μενέλαον ἥκονθ᾿· ὡς τά γ᾿ ἄλλ᾿ ἐπ᾿ ἀσθενοῦς
ῥώμης ὀχούμεθ᾿, ἤν τι μὴ κείνου πάρα
σωθῶμεν. ἄπορον χρῆμα δυστυχῶν δόμος.

ΕΛ. ὦ παῖ Κλυταιμνήστρας τε κἀγαμέμνονος,
παρθένε μακρὸν δὴ μῆκος Ἠλέκτρα χρόνου,
πῶς, ὦ τάλαινα, σύ τε κασίγνητός τε σός;
προσφθέγμασιν γὰρ οὐ μιαίνομαι σέθεν,
εἰς Φοῖβον ἀναφέρουσα τὴν ἁμαρτίαν.
καίτοι στένω γε τὸν Κλυταιμνήστρας μόρον,
ἐμῆς ἀδελφῆς, ἥν, ἐπεὶ πρὸς Ἴλιον
ἔπλευσ᾿ ὅπως ἔπλευσα θεομανεῖ πότμῳ,
οὐκ εἶδον, ἀπολειφθεῖσα δ᾿ αἰάζω τύχας.

ΗΛ. Ἑλένη, τί σοι λέγοιμ᾿ ἂν ἅ γε παροῦσ᾿ ὁρᾷς;
ἐγὼ μὲν ἄυπνος πάρεδρος ἀθλίῳ νεκρῷ·
νεκρὸς γὰρ οὗτος οὕνεκα σμικρᾶς πνοῆς·
θάσσω· τὰ τούτου δ᾿ οὐκ ὀνειδίζω κακά.
σὺ δ᾿ εἶ μακαρία μακάριός θ᾿ ὁ σὸς πόσις,
ἥκετον ἐφ᾿ ἡμᾶς ἀθλίως πεπραγότας.

---

τλήμων Ὀρέστης μητρὸς ὅδε φονεὺς ἔφυ 74
ἐν συμφοραῖσι τὸν Ἀγαμέμνονος γόνον 82

---

67. εἴσοδον fere libri. 79. ὅπως] Porsonus, ὅπως δ᾿ libri. 86. σὺ δ᾿ ἡ BF σὺ δ᾿ εἶ ceteri cum schol.